UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Theoni. 472.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Κυνηγίῳ. υοα.

Τοῖς οἰκέταις χρηστέον ὡς ἑαυτοῖς· ἄνθρωποι γάρ εἰσι καθ' ἡμᾶς. ἡ γὰρ περίληψις, ἢ τύχη πολέμου, ἢ τυραννὶς ὅπλων, τούτους ἐποιήσατο κτήματα. ἀλλ' οἱ πάντες ἓν ἐσμὲν καὶ τῇ φύσει, καὶ τῇ πίστει, καὶ τῇ μελλούσῃ κρίσει. κτῆμα.

Θέωνι. υοβ.

Ὅτι οὔτε οἱ πρὸ νόμου τὴν τοῦ θεοῦ παρωσάμενοι γνῶσιν, ἀπολογίαν ἔχουσιν, ὡς ταύτην νόμῳ μὴ διδαχθέντες, ὁ σοφὸς παιδεύει σε Παῦλος, τὰ ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα εἰρηκὼς καθορᾶσθαι. εἰ δὲ ἐκεῖνοι ἀσύγγνωστοι, τίνα ἔχουσι συγγνώμην οἱ νῦν εἰς θεὸν ἁμαρτάνοντες;

Παλλαδίῳ διακόνῳ. υογ.

Εἰ ἐλαττώσεως τοῦ υἱοῦ τοῦ θεοῦ σημεῖον νομίζουσιν οἱ κακόσχολοι, τὸ τῷ εὐαγγελιστῇ περὶ αὐτοῦ εἰρημένον, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, ἐλαττοῦσθαι καὶ τὸν θεὸν εἰς ἀγαθότητα νομιζέτωσαν, τοῦ Δαβὶδ λέγοντος, ὡς ἀγαθὸς τῷ Ισραὴλ ὁ θεός. εἰ δὲ ἐνταῦθα κατὰ ἐπίτασιν τὸ, ὡς ἀγαθὸς, εἴρηται, κἀκεῖσε τὸ, ὡς μονογενοῦς, κατὰ βεβαίωσιν καὶ ὁμοίωσιν γέγραπται.

Νεωτέροις μοναχοῖς. υοδ.

Εἰ νομίμως ἀσκεῖτε, νηστεύοντες μὴ τυφοῦσθε. εἰ δὲ ἐπὶ τούτῳ αὐχεῖτε, μᾶλλον κρεωφαγεῖτε.

Παύλῳ διακόνῳ. υοε.

Σίμωνα τὸν ἀγαπητὸν ἡ σισύρα συνίστησι γυμνὸν, ἣν ἀμπέχεται. καὶ ἐπειδὴ ἀπαίρει πρὸς Αἴγυπτον, σκεπάσματος δέεται. ἐγὼ τοίνυν σοι τοῦτον συνιστῶ. ὁ δὲ νόμος τοῦ βαπτισμοῦ, χιτῶνα

Cynegio. 471.

Seruis,tanquam nobiſipſis , vtẽdum eſt. Homines enim illi noſtri inſtar ſunt. Anticipata quippe opinio, aut belli fortuna, aut armorum vis,eos in aliorum poſſeſſionem redegit. At re vera omnes vnum atque idem ſumus,ſiue naturam, ſiue fidem, ſiue futurum iudicium ſpectemus.

Theoni. 472.

Quòd neque illi,qui ante conditam Legem cognitionem Dei propulerunt,excuſationem habituri ſint, vt qui eam Legis magiſterio minimè perceperint,ex ſapienti viro Paulo diſcas licet, qui inuiſibilia Dei à creatura mundi per ea, quæ facta ſunt,intellecta conſpici teſtatur. Quòd ſi venia illi carent, quam tandem ij veniam habituri ſunt,qui nunc in Deum peccant? *Rom. 1. Rom. 2.*

Palladio Diacono. 473.

Si Dei Filium hoc argumento imminui exiſtimant homines malè feriati, quòd de eo ab Euangeliſta dictum eſt, Gloriam tãquam vnigeniti à Patre, Dei quoque bonitatem propterea imminui exiſtiment, quòd Dauid his verbis vtatur, Quàm bonus Iſraël Deus his qui recto ſunt corde? Quòd ſi hoc loco hæc verba, Quàm bonus,per amplificationem dicta ſunt: illic quoque hæc verba, Tanquam vnigeniti, per confirmationem ac ſimilitudinem ſcripta ſunt. *Ioan. 1. Pſal. 72.*

Iunioribus Monachis. 474.

Si Monaſticam vitã legitimè colitis, ieiunãtes à faſtu alienos vos præbete. Sin autem hoc nomine inſoleſcitis, carnes potiùs edite.

Paulo Diacono. 475.

Simonem, quem ego imprimis amo, ex caprinis pellibus contexta veſtis, qua amictus eſt, nudum eſſe oſtendit. Et quia in Ægyptum proficiſcitur, indumento opus habet. Hunc igitur ego tibi commendo.